Storia della Lingua Greca - Laurea Specialistica – 13-14.10.2008

1. Archil. fr. 114 W.[2]

οὐ φιλέ͡ω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ᾽ ὑπεξυρημένον,
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέ͡ως βεβηκὼς ποσσί, καρδίης πλέως.

Metro: tetrametri trocaici catalettici (⏑̄—⏑—×,⏑̄—⏑—×,⁝—⏑—×,⏑̄—⏑—‖); sinizesi: vv. 1 φιλέ͡ω, 4 ἀσφαλέ͡ως; anapesto per trocheo: v. 1 δῐἄπε̄πλιγμένον.

(1s.) Dio Chrys. *Or.* 33,17 (I); **(1, 3s.)** Gal. XVIII/1 605 (II); **(3s.)** Gal. XVIII/1 537 (III); **(3–4** ποσσί**)** Erotian. fr. 43 Nachm. (IV); **(3)** *schol.* Theocr. 4,49a (V). Cf. **(3s.)** Dio Chrys. *Or.* 33,17; **(4)** Poll. II 192 || **1** διαπεπλιγμένον Hemsterhuys : -πλεγμένον I : -πηγμένον II || **3** σμικρός IV (necnon Dio) : μικρ. III : μακρ. II : ῥοικός V | περὶ κνήμας ἰδεῖν II, III, IV : κατὰ κνήμην ἰ. V (codd. pll. : περὶ λίμνην ἰ- **U** quod περὶ κνήμην ἰ- fort. resp.) : ἐπὶ κνήμαισιν δασύς Dio || **4** ῥοικός II, III, IV : ῥαιβός Poll. et Dio

2. Alc. fr. 129 V.

[ ]..ρά̣τα τόδε Λέσβιο⌊ι
..]..... εὔ⌊δει⌋λ̣ον τέμενο⌊ς μέγα
ξῦ⌋νον κάτ̣ε̣⌊ισσα⌋ν· ἐν δὲ βώ⌊μοις
ἀθανάτων ⌊μακά⌋ρων ἔθη⌊καν,

___

κἀ⌋πωνύ⌊μασσα⌋ν ἀντί⌊αον⌋ Δ⌊ία⌋, 5
σὲ δ᾽ Α⌋ἰολῆ̣ν ⌊κ]υδα⌋λίμα⌊ν θ⌋έο⌊ν
πι⌊ά⌋ντων γενέθλαν, τὸν δὲ ⌊τέρ⌋τοι⌊ν
τόνδε κεμήλιον ⌊ὠ⌋νι⌊ύμα⌋σ̣σ̣[α]ν

<——>

Ζόννυσσον ὠμήσι⌊ταν. ἄγ̣[ι⌋τ̣᾽ εὔνοο⌊ν
θῦμον σκέθοντε⌊ς ἀμμετ̣⌋ε̣̣ρ̣α̣[ς] ἄρας 10
ἀκούσατ᾽, ἐκ δὲ τῶ⌊ν̣[δ]ε̣ μ̣ό̣⌋χ̣θ̣ων
ἀργαλέας τε φύγας ῥ̣[ύεσθε·

<——>

τὸν Ὕρραον δὲ παῖδα ⌊πεδελθ⌋ε̣̣τ̣ῳ
κήνων Ἐρ̣[ίνν]υ̣ς ὥς ποτ᾽ ἀπώμ⌋νυ⌊μεν
τόμοντες ἄ.φ[.´.]ν̣.⌊ν̣⌋ 15
μηδάμα μηδ᾽ ἕνα τὼν ἐταίρ̣ων,

<——>

ἀλλ᾽ ἢ θάνοντες γᾶν ἐπιέμμενοι
κείσεσθ᾽ ὑπ᾽ ἄνδρων οἳ τότ᾽ ἐπικά̣ν̣η̣ν
ἤπειτα κακκτάνοντες αὔτοις
δᾶμ̣ον ὑπὲξ ἀχέων ῥ̣ύεσθαι. 20

<——>

κήνων ὀ φύσκων οὐ διελέξατο
π̣ρὸς θῦμον, ἀλλὰ βραϊδίως πόσιν
ἔ]μβαις ἐπ᾽ ὀρκίοισι δάπτει
τ̣ὰν πόλιν ἄμμι δ̣ε̣̣δ̣[.]..[.].ί.αις

<——>

οὐ κὰν νόμον [.(.)]ο̣ν̣..[ ].́[ ] 25
γλαύκας ἀ[.]..[.]..[
γεγρά.[
Μύρσι̣λ̣[-

[——]

...].[
[ ] 30
[ ]
.]..[⊗
[——]

Metro: strofe alcaiche, composte da due endecasillabi alcaici (ia ^gl: ⏑̄–⏑̇–⏑̄̇–⏑⏑–⏑⏑̄‖) seguiti da un enneasillabo e da un decasillabo alcaici (2ia ^hipp[d]: ⏑̄–⏑̇–⏑̄–⏑⏑‖–⏑⏑–̇⏑⏑–̇⏑–⏑̄‖); 'I legge di Schulze': v. 4 ἀθανάτων; *varia*: v. 14 ἀπώμνῦμεν.

P. Oxy. 2165 fr. 1 c. 1 (I); **(1–15)** *P. Oxy.* 2166 (c) 6 (II) cuius lectiones unciolis inclusa sunt. Cf. **(21** φύσκων**)** Diog. Laert. I 81 (= Alc. test. 429 V.), Hesych. φ 1059 Schm., *Suda* σ 118 A. || nisi aliter ind. omnia suppl. Lobel || **1** ὦ πότνι' ̓Η]ρα, ̣τ̣ᾶ<ι> Gallavotti || **2** λόφο]ν̣ ̣κ̣α̣τ̣' (vel ὄρος κὰτ]) Gallavotti : ὄχθαν παρ'] Diehl || **4**]μακά[ρων II : μαυάρων I || **8** τὸν δὲ fort. dividendum esse cens. Lobel || **15** ἄμφ[possis | in fine ὄκ]ν̣η̣ν̣ Gallavotti : δάμ]ν̣α̣ν̣ Colonna : alii alia || **18** ἐπικάνην Gallavotti (obl. Liberman) : ἐπικ.́ην I : ἐπεκρέτην Lobel || **21** φύσκων Lobel, cl. Diog. Laert. : -γων I || **23** ἔ]μβαις Lobel :]νβ- I || **24** post δ̣[.] σπ possis | post ί fort. π vel τ | δ̣[.]. π̣[ολ]ίτ̣αις dub. Gallavotti || **25** νόμον [τ]ὸν̣ π̣ά̣[τριον e.g. suppl. Gallavotti || Ἀ[θ]α̣ν̣[ά]α̣ς tempt. Diehl

Cf. Archil. (Hippon. fr. *115 W.[2]), 14-16 ταῦτ' ἐθέλοιμ' ἂν ἰδεῖν / ὅς μ' ἠδίκησε, λ[ὰ]ξ δ' ἐφ' ὁρκίοισ' ἔβη, / τὸ πρὶν ἑταῖρος [ἐ]ών.

3. Anacr. *PMG* 388

πρὶν μὲν ἔχων βερβέριον, καλύμματ' ἐσφηκωμένα,
καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ καὶ ψιλὸν περὶ
πλευρῆισι <–⏑̄–> βοός,
νήπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν
κἀθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων, 5
κίβδηλον εὑρίσκων βίον,
πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δὲ νῶτον σκυτίνῃ μάστιγι θωμιχθείς, κόμην
πώγωνά τ' ἐκτετιλμένος·
νῦν δ' ἐπιβαίνει σατινέων χρύσεα φορέων καθέρματα 10
†παῖς Κύκης† καὶ σκιαδίσκην ἐλεφαντίνην φορεῖ
γυναιξὶν αὔτως <–⏑–>.

Metro: strofe tristiche, composte da due tetrametri coriambici anaclastici e polischematici (vv. 1, 2, 10: –⏑⏑––⏑⏑–⏑̄–⏑–⏑̄–⏑⏑̄; vv. 4, 5, 7 e molto probabilmente 11: –⏑⏑––⏑⏑––⏑⏑–⏑–⏑–; v. 8: –⏑⏑–––⏑–––⏑–––⏑–) e da un dimetro giambico (vv. 3, 6, 9, 12: ⏑̄–⏑–⏑̄–⏑–); sinizesi: vv. 5 ὁμιλέων, 10 σατινέων, χρύσεα, φορέων.

Ath. XII 533f || **3** <δέρριον> vel <δέρμ' ἠ̓ει> suppl. Bergk : <δέρμ' ἔχων> Meineke : alii alia || **4** νήπλυτον Schömann : νεόπλουτον A : νεόπλυτον **E** || **5** κἀθελοπόρνοισιν Bergk : καὶ ἐθ- codd. | ὁ πονηρὸς Ἀρτέμων Musurus : ὁ π- ὁ Ἀρτ- **A** || **8** δὲ νῶτον σκυτίνῃ post Elmsley (νῶτα) Bergk : δ' ἐν ὠτω σκυτίνω || **10** φορέων Ursinus : φαρ- codd. || **11** παῖς ὁ Κύκης Hermann, fort. recte : πάις Κύκης Dindorf || **12** in fine <ἐμφερής> suppl. Schömann